# E02.10 Αἰσώπεια γ’

1 **Λύκος καὶ ἀρήν**
2 Λύκος βλέπων ἄρνα ἀπό τινος ποταμοῦ πίνοντα, τοῦτον βούλεται μετά τινος εὐλόγου αἰτίας κατέδειν.
3 διόπερ στὰς ἀνωτέρω προφέρει αὐτῷ ὡς ταράσσοντι τὸ ὕδωρ καὶ πίνειν αὐτὸν μὴ ἐνδεχομένῳ.
4 Τοῦ δὲ λέγοντος ὡς ἄκροις τοῖς χείλεσι πίνει
5 καὶ ἄλλως οὐ δυνατὸν κατωτέρω στάντα ἐπάνω ταράσσειν τὸ ὕδωρ,
6 ὁ λύκος ἀποτυγχάνων ταύτης τῆς αἰτίας λέγει·
7 «Ἀλλὰ πέρυσι τῷ πατρί μου μέμφεσθαι σοι δυνατὸν ἦν.»
8 ἀποκρινομένου δὲ ἐκείνου οὔπω ἓξ μῆνας ἔχειν, ὁ λύκος λέγει πρὸς αὐτόν·
9 «Εἰ καὶ ἀεὶ ἀντιλέγειν δύνασαι, ἐγώ σε οὐχ ἧττον βούλομαι κατέδειν.»
10 Ὁ λόγος διδάσκει ὅτι εἴ τισιν ἡ ἐπιθυμία ἰσχυρά ἐστιν ἄδικα πράττειν,
11 παρ’ αὐτοῖς οὐδὲ δικαία ἀπολογία ἰσχύει.

Λύκος καὶ ἀρήν
Λύκος θεασάμενος ἄρνα ἀπό τινος ποταμοῦ πίνοντα, τοῦτον ἐβουλήθη μετά τινος εὐλόγου αἰτίας καταθοινήσασθαι. Διόπερ στὰς ἀνωτέρω ᾐτιᾶτο αὐτὸν ὡς θολοῦντα τὸ ὕδωρ καὶ πιεῖν αὐτὸν μὴ ἐῶντα. Τοῦ δὲ λέγοντος ὡς ἄκροις τοῖς χείλεσι πίνει καὶ ἄλλως οὐ δυνατὸν κατωτέρω ἑστῶτα ἐπάνω ταράσσειν τὸ ὕδωρ, ὁ λύκος ἀποτυχὼν ταύτης τῆς αἰτίας ἔφη· «Ἀλλὰ πέρυσι τὸν πατέρα μου ἐλοιδόρησας.» Εἰπόντος δὲ ἐκείνου μηδὲ τότε γεγενῆσθαι, ὁ λύκος ἔφη πρὸς αὐτόν· «Ἐὰν σὺ ἀπολογιῶν εὐπορῇς, ἐγώ σε οὐχ ⟨ἧττον⟩ κατέδομαι.»
Ὁ λόγος δηλοῖ ὅτι οἷα ἡ πρόθεσίς ἐστιν ἀδικεῖν, παρ’ αὐτοῖς οὐδὲ δικαία ἀπολογία ἰσχύει.

12 **Τέττιξ καὶ μύρμηκες**
13 Χειμῶνος ὥρᾳ τὸν σῖτον ὑγρὸν γενόμενον οἱ μύρμηκες ξηραίνουσιν.
14 Τέττιξ δὲ λιμὸν πάσχουσα ἱκετεύει αὐτῶν τροφήν.
15 Οἱ δὲ μύρμηκες ἀποκρίνονται αὐτῷ· «Διὰ τί τὸ θέρος οὐ συνάγεις καὶ σὺ τροφήν;»
16 Ὁ δὲ λέγει· «ἐν θέρει οὐκ σχολὴν ἔχω, ἀλλ’ ᾄδω μουσικῶς.»
17 Οἱ δὲ ἐπὶ γέλωτι λέγουσιν· «Ἀλλ’ εἰ θέρους ὥραις ᾄδεις, χειμῶνος χόρευε.»
18 Ὁ μῦθος διδάσκει ὅτι οὐ δεῖ τινα ἀμελῶς ἔχειν ἐν παντὶ πράγματι μὴ χαλεπὰ πάσχειν ἐθέλοντα.

Τέττιξ καὶ μύρμηκες
Χειμῶνος ὥρᾳ τὸν σῖτον βραχέντα οἱ μύρμηκες ἔψυχον. Τέττιξ δὲ λιμώττων ᾔτει αὐτοὺς τροφήν. Οἱ δὲ μύρμηκες εἶπον αὐτῷ· «Διὰ τί τὸ θέρος οὐ συνῆγες καὶ σὺ τροφήν;» Ὁ δὲ εἶπεν· «Οὐκ ἐσχόλαζον, ἀλλ’ ᾖδον μουσικῶς.» Οἱ δὲ γελάσαντες εἶπον· «Ἀλλ’ εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος ὀρχοῦ.»
Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ τινα ἀμελεῖν ἐν παντὶ πράγματι, ἵνα μὴ λυπηθῇ καὶ κινδυνεύσῃ.

19 **Λέων καὶ μῦς ἀντευεργέτης**
20 Λέοντος εὕδοντος μῦς τῷ σώματι ἐπιτρέχει.
21 ὁ δὲ ἐγειρόμενος καὶ συλλαμβάνων αὐτὸν κατέδειν βούλεται.
22 ὅτε δὲ ἐκεῖνος περὶ τοῦ βίου ἱκετεύει καὶ λέγει, ὅτι εἰ σῴζεται χάριτας αὐτῷ παρέχειν ἐθέλει,
23 ὁ λέων ἐπὶ γέλωτι αὐτὸν ἀπολύει.
24 συμβαίνει δὲ μετὰ ὀλίγον χρόνον, ὅτι ὁ λέων αὐτὸς τῇ τοῦ μυὸς χάριτι σῴζεται.
25 ἐπειδὴ γὰρ εἰς ἀγχόνην ποτὲ εἰσπίπτει, ἀπολύεσθαι οὐ δύναται.
26 ἀλλὰ ὁ μῦς αὐτοῦ στένοντος ἀκούει τε καὶ τοὺς δεσμοὺς διατρώγων λέγει·
27 «Οὐ μιμνῄσκῃ, ὅτι σοι χάριτας καὶ ἀντευεργεσίαν τινὰ ὀφείλω;
28 νῦν δὲ εὖ γιγνώσκεις ὅτι ἐστὶ καὶ παρὰ μυσὶ χάρις.»
29 Ὁ λόγος διδάσκει ὅτι καιρῶν μεταβολαῖς οἱ σφόδρα δυνατοὶ τῶν ἀσθενεστέρων ἐνδεεῖς γίγνονται.

Λέων καὶ μῦς ἀντευεργέτης
Λέοντος κοιμωμένου μῦς τῷ σώματι ἐπέδραμεν. Ὁ δὲ ἐξαναστὰς καὶ συλλαβὼν αὐτὸν οἷός τε ἦν καταθοινήσασθαι. Τοῦ δὲ δεηθέντος μεθεῖναι αὐτὸν καὶ λέγοντος ὅτι σωθεὶς χάριτας αὐτῷ ἀποδώσει. Συνέβη δὲ αὐτὸν μετ’ οὐ πολὺ τῇ τοῦ μυὸς χάριτι περισωθῆναι· ἐπειδὴ γὰρ συλληφθεὶς ὑπό τινων κυνηγετῶν κάλῳ ἐδέθη τινὶ δένδρῳ, τὸ τηνικαῦτα ἀκούσας ὁ μῦς αὐτοῦ στένοντος ἐλθὼν τὸν κάλων περιέτρωγε καὶ λύσας αὐτὸν ἔφη· «Σὺ μὲν οὕτω μου τότε κατεγέλασας ὡς μὴ προσδεχόμενος παρ’ ἐμοῦ ἀμοιβὴν κομιεῖσθαι· νῦν δὲ εὖ ἴσθι ὅτι ἐστὶ καὶ παρὰ μυσὶ χάρις.»
Ὁ λόγος δηλοῖ ὅτι καιρῶν μεταβολαῖς οἱ σφόδρα δυνατοὶ τῶν ἀσθενεστέρων ἐνδεεῖς γίνονται.

30 **Ἀλώπηξ καὶ βότρυς**
31 Ἀλώπηξ λιμὸν πάσχουσα, ὡς βλέπει ἀπό τινος ὑψηλῆς ἀμπέλου βότρυας κρεμαννυομένους,
32 βούλεται αὐτοὺς ἐπιλαμβάνειν καὶ οὐκ δύναται. Ἀπαλλαττομένη δὲ πρὸς ἑαυτὴν λέγει· «Ὄμφακές εἰσιν.»
33 Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι τῶν πραγμάτων ἐφικνέεσθαι μὴ δυνάμενοι δι’ ἀσθένειαν τοὺς καιροὺς μέμφονται.

Ἀλώπηξ λιμώττουσα, ὡς ἐθεάσατο ἀπό τινος ἀναδενδράδος βότρυας κρεμαμένους, ἠβουλήθη αὐτῶν περιγενέσθαι καὶ οὐκ ἠδύνατο. Ἀπαλλαττομένη δὲ πρὸς ἑαυτὴν εἶπεν· «Ὄμφακές εἰσιν.» Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι τῶν πραγμάτων ἐφικέσθαι μὴ δυνάμενοι δι’ ἀσθένειαν τοὺς καιροὺς αἰτιῶνται.